Χαλκίοικον ὕμνει
Ταὶ παμμάχον.

A Cantat ære tectam, &
Fortissimam.

BISETVS. Ταὶ δὲ κόμαι.] αἱ ἢ κόμαι τούτων σείουσι, τουλέγει σείονται, κινοῦνται. ἔστι γὰρ καὶ τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ, ὅπερ, ὡς ἐν τῷ ὁρᾶμμι, οὐ μόνον τοῖς Ἀττικοῖς, ἀλλὰ καὶ τοῖς Δωριεῦσι σύνηθες. Αἷπερ Βακχᾶν.] καθάπερ, ὥσπερ τῆς Βακχῶν. ἧπερ κοινῶς, Δωρικῶς δὲ ἇπερ. καὶ ἀρχαϊκῶς αἷπερ, τοῦ οὐχ ὑπογραφόμενα, ἀλλὰ ὑπογραφόμενοι. Βακχᾶν δὲ, ἀντὶ τοῦ Βακχῶν. Θυρσοδιδωᾶν, καὶ παδδωᾶν.] θυρσάζουσῶν. καὶ πηδωσῶν. θύρσος, βακχικὴ ῥάβδος, ἢ κλάδος, ἢ λαμπὰς ἣν ἐβάστασον εἰς τιμὴν τοῦ Διονύσου. ὅθεν τὸ ῥῆμα θυρσάζειν, εἴτε θυρσοφορεῖν. ὅπερ εἰώθασιν αἱ βάκχαι ὀρχεῖσθαι. Βάκχαι δὲ, καὶ Σάτυροι, καὶ Πᾶνες, καὶ Σιληνοὶ, ὀπαδοὶ Διονύσου. πηδάω δὲ, ἅλλομαι, σκιρτάω. ταῦτα δὲ, καθάπερ πολλάκις ἤδη προδεδήλωται, οὕτω σχηματίζεται. πρῶτον ἐν τῷ θυρσάζουσῶν, τὸ ζ εἰς δύο δι, καὶ ἡ διφθογγος ου, εἰς ω μέγα τρέπονται. εἶτα κατ' ἐκβολὴν τοῦ δευτέρου σ, καὶ τροπὴν τοῦ ω μεγάλου εἰς α, ὡς ἐν τῷ ἰωᾶν, ἀντὶ τοῦ μουσῶν, γίνεται θυρσοδδωᾶν. γραφόμενον διὰ τοῦ ω μεγάλου, ὅπερ τοῦ Δωρισμοῦ μᾶλλον ὄζει. καὶ διὰ τοῦ ο μικροῦ, ὡς ἐν τῷ τῆς ἀνθρώπων εὐείσκεται. ἀπὸ δὲ τοῦ κοινοῦ πηδᾶν, οἱ Δωριεῖς σχηματίζουσι τὸ ἑαυτῆς ῥῆμα παδᾶν, καὶ παδδᾶν προσλήψει τοῦ ἑτέρου δ. καὶ ἐν τῇ γλωσσῇ πληθυντικῇ τοῦ μετοχῆς, κοινῶς μὲν πηδωσῶν, Δωριστὶ δὲ παδδωσᾶν, καὶ παδδωᾶν, ὅπερ Δωρικώτατον. διπλασιάζεται δὲ τὸ δ, ὡς ἀπὸ τοῦ ῥήματος τὸ ζ εἰς δύο δδ. Δωρικῶς διαλύοντος ὡς ἐν τῷ πλάζω, πλάδδω. ἀλλὰ ταῦτα καὶ λεπτέον, καὶ ἐρμηνευτέον οὕτως, εἴπερ μηδὲν ἐν τῇ γραφῇ σφάλμα ἔνεστιν. οὐδεὶς γὰρ ὅπερ ἡμῖν νῦν εἴπομεν, τοῦτο ἀκριβέστερόν τι ἐδόξασεν, ὥστε ἡμᾶς τοιούτων καινοτέρων, καὶ ἀχρηστοτέρων Δωρισμῶν τινὰς κανόνας βεβαίους, καὶ ἀναμφιλέκτους ἔχειν. ταῦτα μὲν τοι ἐν πλείστοις ὑπὲρ τοὺς τοῦ Πινδάρου, καὶ Θεοκρίτου, καὶ τῶν ἄλλων Δωρισμοὺς εἰρῆσθαι δοκεῖ.

B

CHR. Θυρσοδιδοᾶν καὶ παδδιοᾶν.] Nescio quid sit παδδοᾶν, nisi Paduſas intelligat Bacchas, id est, ſaltantes, Est quidem πάδος arbor vel frutex de quo Theophraſtus lib. 4. cap. 1. Hiſtor. Plinius lib. 3 cap. 16. Pades ait quam eſſe aliam putem arborem, nam illam Theophraſti Padum, Putier vel obier ſunt qui eſſe velint. Sed & πηδὸς eſt remus & lignum teres, qui fortaſſis fuit pro haſta Mænadibus thyrſigeris.

C

BISETVS. Ἀγῆται δὲ α' Λήδας παῖς.] ἀγῆται ἀντὶ τοῦ ἡγεῖται, καὶ τροπὴν Δωρικὴν τοῦ η εἰς α, καὶ τοῦ ει διφθόγγου εἰς η, ὡς πολλάκις ἐν τοῖς ἄνω προείρηται. ὁ δὲ νοῦς, ἡ Λήδας παῖς ἀγνὴ χορηγὸς, καὶ τοῦ χοροῦ, εἴτε χορείας ἡγεμὼν ὄζει. Ἀλλ' ἴσως ἀντὶ τοῦ Λήδας γραπτέον Λατοῦς παῖς, ἵνα διανοῆται ἡ Ἄρτεμις. καὶ τοῦδε τὸ εἰκασμὸν βεβαιοῖ τὸ ὑπὸ φερόμενον ὑπὸ θετον ἀγνὴ ὅπερ τῇ Ἀρτέμιδι οἰκεῖόν ὄζει τῇ τῆς Λήδας παιδὶ τυγχάνει τῇ Ἑλένῃ οὐδαμῶς ἁρμόζειν δοκεῖ. Παραμπυκίδδετε] τουτέστιν ὡς Εὐσάθιος, καὶ Σουίδας ἑρμηνεύουσι, τὰς τείχας περιπλέκετε. ἔστι δὲ ἄμπυξ ἀρσενικῶς καὶ τοὺς παλαιοὺς δηλῶσαί τι πρὸς ἀνάδεσιν τειχῶν. καὶ ἀμπυκίζειν τὸ τὰς ἐμπροσθίας τείχας ἀναδεῖν. καὶ ἄμπυξ, ὡς αὐτὸς Εὐσάθιός φησιν, ἐκαλεῖτο σειρὰ κατάχρυσος τὰς πεῖ τὸ μέτωπον τῆς ἵππων τείχας σύνδεουσα. ἐξ ἧς καὶ τὸ Ἄρεως ἵπποι, χρυσάμπυκες λέγονται καὶ ἄμπυξ χαλινὸς ὅθεν χρυσάμπυκας ἵππους, ὁ αὐτὸς Σουίδας ἑρμηνεύει χρυσοχαλίνους. καὶ ἀμπυκᾶσι, τὸ χαλινῶσι, τὸ ἀναδῆσαι, τὸ στεφανῶσαι. ἔστι καὶ ἄμπυξ κόσμος τῆς γυναικείας δέτος πεῖ τῷ κεφαλῷ κροκύφαντος λεγόμενος, διὸ νῦν παραμπυκίζειν λεπτέον φαίνεται, ἀντὶ τοῦ, τοιούτῳ κόσμῳ γυναικεῖῳ ἑαυτὰς κοσμεῖν, ὅπερ καὶ παραμπυκία ἐπαλεῖτο, ὡς φησιν Εὐσάθιος.

D

CHR. Παραμπυκίδδετε.] Lego παραμπυκίδδεται, idest, παραπλέκεται τὰς τείχας.

E

BISETVS. Χειεὶ ποδοῖν γε.] οἱ γὰρ χορεύοντες, καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας κινεῖν καὶ κραδαίνειν φιλοῦσι. τινὲς δὲ, ταῦτα διαστίζουσιν οὕτω, παραμπυκίδδετε χειεί. εἶτα ποδοῖν τε πᾶ δή. ἀλλὰ τί τόδε τὸ πᾶ δή, νῦν βούλεται σημαίνειν ἄδηλον. ἴσως ταῦτα σύνθεσιν πλέον, καὶ δι' μιᾶς λέξεως ἐκφωνητέον πάδδη. ὅπερ ἔσεται προστακτικοῦ, ἀπὸ τοῦ κοινοῦ πήδαε, πήδα καὶ τοὺς προδεδηλωμένους κανόνας, πάδδη. διπλασιασμοῦ τοῦ δ, καὶ τροπῆ τοῦ α εἰς η. ὡς ἔμβα καὶ ἔμβη ἀπὸ τοῦ ἔμβαε. οὕτως καὶ κάτω ποίη, ἀντὶ τοῦ ποίει, τὴ διφθόγγου ει εἰς η τραπείσης. ἔσται δὲ καὶ μέταβασις ἐκ πληθυντικοῦ εἰς τὸ ἑνικόν. πρῶτον μὲν γὰρ πρὸς πάντας πληθυντικῶς εἶπε παραμπυκίδδετε. νῦν δὲ κατ' ἰδίαν προτρέπων, καὶ παροξυνῶν λέγει πήδα, καὶ ποίει, καὶ ὕμνει. δηλονότι πᾶς τις τῆς ἐνθάδε παρόντων. Ἄλλοι δὲ, τὰ πάδδη, καὶ ποιῆ πεῖ πωμένος γραφοῦσι, ὑποτακτικὰ ἔτι λέγουσι Δωρικῶς ἐσχηματισμένα, ἀντὶ τῆς κοινῶν, πηδᾷ, καὶ ποιῇ τουτέστι πᾶς τις πηδάτω. καὶ ποιείτω. αἱ γὰρ ἐξαιρέσεις τοῦ ει, οὐ μόνον τῆς Ἀττικῶν, ἀλλὰ καὶ τῆς Ἰώνων, καὶ τῆς Αἰολέων, καὶ τῆς Δωριέων εἰσὶ, καθάπερ ἐν τοῖς Κρείθου σχολίοις ὄζει ὁρᾶν. ἔσται δὲ μέταβασις ἀπὸ τοῦ δευτέρου προσώπου, εἰς τρίτον, καὶ ἀόριστον πρόσωπον. καὶ πάλιν ἀπὸ τοῦ τρίτου εἰς δεύτερον, ἐν τῷ ὕμνει, εἴπερ γε ἡ γραφὴ πανταχοῦ καλῶς ἔχει. Αἴ τις ἔλαφος.] αἴ τις ἀρχαϊκῶς τὸ ἵ παραγραφόμενον, οὐχ ὑπογραφόμενον ἔχει. ἀντὶ τοῦ κοινοῦ ἤ τις. τὸ δὲ ἢ ἀντὶ τοῦ ἤπερ, ὥσπερ καθάπερ. οὕτως καὶ ἄνω, αἴτε πῶλοι ταὶ κῶραι. ἔλαφος δὲ λέγει, ὅτι τοῦτο τὸ ζῶον ἐλαφρόταλον, κουφόταλον, καὶ τάχιστον τῆς ἄλλων τετραπόδων εἶναι νομίζεται. ὅθεν καὶ ἡ παροιμία, ἐλάφου κουφότερος, ἢ ταχύτερος, ὅπερ τῆς ταχέως διαφερόντων. Χορῶφελείαν.] χορωφελέτιν τὸ κρόταλον καλεῖ, τὸ ὠφελοῦν τὸ χορὸν, ἤγουν τοὺς ὀρχουμένους, καὶ χορεύοντας πρὸς σύνταξιν ἀρετὴν χορείαν προτρέπουσα, καὶ παροξυνοῦσα τινὲς δὲ τοῖς χοροῖς, εἴτε χορείαις πρέπουσα ἑρμηνεύουσιν. ὁ δὲ κρότος τῆς τε χειρῶν, καὶ τῆς ποδῶν, καὶ ὁ τῆς μουσικῶν ὀργάνων ἐμμελὴς καὶ εὔρυθμος ἦχος, τοῖς ὀρχουμένοις ἀρέσκει, καὶ τὰς αὐτῆς ψυχὰς πρὸς σύνταξιν ἀρετὴν κινήσεις, καὶ χορείας μακροτέρας παρορμᾷ. Τὰν παμμάχον] παμμάχον θεὸν, τὴν Ἀθηνᾶν καλεῖ, τουτέστι πᾶσι τοῖς ἀντιπάλοις μαχομένην, καὶ τούτους καταπολεμοῦσαν. οὕτω δὲ θεὰν πολεμικὴν, καὶ πολέμων ἔφορον ὀνομάζει ὁ δὲ τούτων ἁπάντων νοῦς ὅδε ἔτι δοκεῖ. Ἐπειδὴ τῆς πολεμικῶν συμφορῶν ἠλευθερώθημεν, καὶ τὴν ἐρασθείσης εἰρήνης τέλος ἐτύχομεν. νῦν μὴ πλείστης εὐφροσύνης καὶ χαρᾶς τὴν καλλίστην Ἀρτεμιν ἡμετέραν χορηγὸν, ἐλάφου δίκην πηδῶσαν, καὶ χορεύουσαν μιμούμεθα καὶ τὴν κεφαλὴν στεφανώσαντες, χέρσι, καὶ ποσὶ κρότον ποιοῦντες πηδῶμεν, χορεύωμεν, ἀλαλάζωμεν, παιανίζωμεν καὶ τὴν Ἀρτεμιν ἡμετέροις χοροῖς παροῦσαν καὶ χορηγοῦσαν ἀδωμεν. καὶ τὴν Ἀθηνᾶν κρατίστην, καὶ δυνατωτάτην θεὰν, ἡμᾶς ἀπὸ τῆς πολεμικῶν κακῶν ἐλευθερώσαν ὑμνῶμεν.

F

G